UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Plutarchu Chairōneōs Ta Sōzomena Panta

Continens Vitas Parallelas Graecè & Latinè

**Plutarchus**

**Francofurti, 1620**

Philopoemenes et Titus Quintius Flaminius

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1340

Visual Library

A πρεσβύτην γὰρ ἤδη τοσοῦτον ἐν ἡλικίᾳ παιδὶ καὶ γυναικὶ νύμφῃ παιδὸς, ἐπιγῆμαι κόρην ὑπηρέτου καὶ δημοσιεύοντος ἐπὶ μισθῷ πατρὸς, οὐδαμοῦ καλόν. ἀλλ' εἴτε πρὸς ἡδονὴν τοῦτ' ἔπραξεν, εἴτ' ὀργῇ, διὰ τὴν ἑταίραν ἀμυνόμενος τὸν υἱὸν, αἰσχύνην ἔχει καὶ τὸ ἔργον καὶ ἡ πρόφασις. ᾧ δὴ αὐτὸς ἐχρήσατο λόγῳ κατειρωνευόμενος τὸ μειράκιον, οὐκ ἦν ἀληθής. εἰ γὰρ ἐβούλετο παῖδας ἀγαθοὺς ὁμοίως τεκνῶσαι, γάμον ἔδει λαβεῖν γενναῖον, ἐξ ἀρχῆς σκεψάμενον· οὐχ ἕως μὲν ἐλάνθανεν ἀνεγγύῳ γυναικὶ καὶ κοινῇ συγκοιμώμενος, ἀγαπᾶν· ἐπεὶ δ' ἐφωράθη, ποιήσασθαι πενθερὸν, ὃν ῥᾷστα πείσειν, οὐχ ᾧ κάλλιστα κηδεύσειν ἔμελλεν. B

Nam ætate illum tam graui, filio adulto & nurui suæ alteram inducere puellam, vxorem apparitoris & mercenariam, operam publice præbentis filiam, minime fuerit honestum. Verum siue libidine stimulatus hoc egit, siue ira scorti causa vlturus filiam, & factum & prætextus cum probro est coniunctus. Nam qua vsus est ratione, cauillans apud filiũ, falsa erat. Si enim æque egregios gignere cupiebat, debebat re à principio deliberata generosam vxorem ducere, non quandiu occulta fuit sua cum muliere non iusta & vulgari consuetudo temperare: vbi verò res detecta est, socerum facere eum qui facillime assensurus, non affinitate ornamento ei erat futurus.

# ΠΛΟΥΤΑΡΧΟΥ

Βίοι παράλληλοι

## ΦΙΛΟΠΟΙΜΕΝΟΣ

καὶ

## ΤΙΤΟΥ ΚΟΙΝΤΟΥ ΦΛΑΜΙΝΙΟΥ. C

### ΦΙΛΟΠΟΙΜΗΝ.

...ndrum vocat Pausan. ...ud. Palmer.

Κάσανδρος ἦν ἐν Μαντινείᾳ γένους τε πρώτου, καὶ δυνηθεὶς ἐν τοῖς μάλιστα τῶν πολιτῶν· τύχῃ δὲ χρησάμενος, καὶ τῆς ἑαυτοῦ φυγὼν, ἧκεν εἰς Μεγάλην πόλιν, οὐχ ἥκιστα διὰ τὸν Φιλοποίμενος πατέρα Κραῦσιν, ἄνδρα πάντων ἕνεκα λαμπρὸν, ἰδίᾳ δὲ πρὸς ἐκεῖνον οἰκείως ἔχοντα. ζῶντος μὲν οὖν αὐτοῦ πάντων ἐτύγχανε, τελευτήσαντος δὲ, τὴν ἀμοιβὴν τῆς φιλοξενίας ἀποδιδοὺς, ἔθρεψεν αὐτοῦ τὸν υἱὸν ὀρφανὸν ὄντα, καθάπερ φησὶν Ὅμηρος ὑπὸ τοῦ Φοίνικος τὸν Ἀχιλλέα τραφῆναι· γενναίαν τινὰ καὶ βασιλικὴν τοῦ ἤθους εὐθὺς ἐξ ἀρχῆς πλάσιν καὶ αὔξησιν λαμβάνοντος. ἤδη δὲ τοῦ Φιλοποίμενος ἀντίπαιδος ὄντος, Ἔκδημος καὶ Δημοφάνης οἱ Μεγαλοπολῖται διεδέξαντο τὴν ἐπιμέλειαν, Ἀρκεσιλάῳ συνήθεις ἐν Ἀκαδημίᾳ γεγονότες, καὶ φιλοσοφίαν μάλιστα τῶν καθ' ἑαυτοὺς ἐπὶ πολιτείαν καὶ πράξεις προαγαγόντες. οὗτοι καὶ τὴν ἑαυτῶν πατρίδα τυραννίδος ἀπήλλαξαν, τοὺς ἀποκτενοῦντας Ἀριστόδημον κρύφα παρασκευάσαντες· καὶ Νικοκλέα τὸν Σικυώνιον τύραννον Ἀράτῳ συνεξέβαλον· καὶ Κυρηναίοις δεηθεῖσιν, τεταραγμένων τῶν κατὰ τὴν πόλιν καὶ νοσούντων, πλεύσαντες εὐνομίαν ἔθεντο, καὶ διεκόσμησαν ἄριστα τὴν πόλιν. αὐτοί γε μὴν ἐν τοῖς ἄλλοις ἔργοις καὶ τὴν Φιλοποίμενος ἐποιοῦντο παίδευσιν, ὡς κοινὸν ὄφελος τῇ Ἑλλάδι τὸν ἄνδρα τοῦτον ὑπὸ φιλοσοφίας ἀπεργασάμενοι. καὶ γὰρ, ὥσπερ ὀψίγονον ἐν γήρᾳ, ταῖς τῶν παλαιῶν ἡγεμόνων ἐπιτεκοῦσα τοῦτον ἀρεταῖς ἡ Ἑλλὰς, ἠγάπησε διαφερόντως, καὶ συνηύξησε τῇ δόξῃ τὴν δύναμιν. Ῥωμαίων δέ τις ἐπαινῶν, ἔσχατον αὐτὸν Ἑλλήνων προσεῖπεν, ὡς οὐδένα μέγαν. μετὰ τοῦτον ἔτι τῆς Ἑλλάδος ἄνδρα γειναμένης, οὐδὲ αὐτῆς ἄξιον. ἦν δὲ τὸ μὲν εἶδος οὐκ αἰσχρὸς, ὡς ἔνιοι νομίζουσιν· εἰκόνα γὰρ αὐτοῦ διαμένουσαν ἐν Δελφοῖς ὁρῶμεν. τὸ δὲ τῆς ξένης τῆς Μεγαρικῆς ἄγνοιαν συμβῆναι λέγουσιν δι' εὐκολίαν τινὰ καὶ ἀφέλειαν αὐτοῦ.

...γιν vocant alii ...mer.

...ηλος· καὶ Μεγαλο... ...ην Pausan. Palmer.

D E F

# PLVTARCHI VITAE comparatæ

## PHILOPOEMENIS & T. Q. FLAMINII.

### PHILOPOEMENES.

CASSANDER Mantineæ summa nobilitate fuit & autoritate inter ciues pollens imprimis. Hic fortunę fluctibus domo profugus Megalopolin se contulit: potissimum Crausis gratia patris Philopœmenis, viri cum omni præfulgentis gloria, tum verò priuatim ei familiaritate coniuncti. Ab hoc est superstite cultus omni genere officiorum. Quo mortuo, vt vices rependeret illi hospitalitatis, filium eius orbum educauit: quo modo Phœnicis ait Homerus fuisse Achillem alumnum. Vnde generosis & regiis à teneris vsq; vnguiculis conformatus fuit & adoleuit moribus. Vbi iam pubertatem Philopœmenes attigit, Ecdemus Demophanesque Megalopolitani, qui familiares Archelai in Academia fuerant, atque philosophiam præ æqualibus suis in forum & negotiorum puluerem produxerāt, susceperunt curam eius. Hi summissis Aristodemo percussoribus, patriam suam liberarunt tyrannide, & ad Sicyonium tyrannum expellendum Nicoclem præsto fuerunt Arato, petentibusque Cyrenęis mare traiecerunt, ac rempublicam eorum concussam seditionibus & affectam composuerunt concinnauer untque decentissime. Porro inter cæteras actiones, hi Philopœmenis quoq; institutionem curæ habuerunt, ad commune Græciæ salute præceptis excolentes eũ philosophiæ. Namq; Græcia, quum hũc post veterum virtute ducũ quasi cordũ edidisset in senectute mirũ in modũ est exosculata, potentiamq; eius vna cum gloria amplificauit. Romanus verò quispiam celebrans eum, vltimum Græcorum appellauit; quasi nullũ Græcia exinde inclytũ virum vel ipsa genuerit dignum. Fuit specie non (vt nõnulli arbitrantur) deformi: extat enim etiã nũc Delphis statua eius. Nã hospitis Megarensis inscitiæ aiunt ipsius facilitatem & simplicitatẽ dedisse causam.

sumptuosas cœnas mensasq; : sed quum instituisset à non necessariis cupidos elegantiæ ad necessaria deflectere & honesta, breui omnes mouit atq; inflammauit, vt quotidianis repressis in corpus sumptib., gestirēt in militari & bellico ornatu ostētare se splēdidos & comptos. Itaq; videres plenas officinas calicum & paterarum contundendorum, inaurandarum loricarum, argento inducendorum scutorū frænorumq;, curricula domandorum equorum & adolescentium in armis sese exercentium: in manibus fœminarum galeas, ac cristas tincturis distinctas, sagulaque equestria, & militares lacernas picturatas. Hæc species animos incendebat eorum, & alacritatem excitabat: vnde periculorum contemptores & prōpti ad subeunda discrimina euaserunt. Quippe profusio aliis in rebus voluptates producit, & animos eneruat vtentium, quasi per stimulos & titillationes animum sensu infringente: contra impensa in huiuscemodi res roborat eum, extollitque. Sicut Achillem induxit Homerus nouis armis prope sub oculis positis quasi exultantem & ardentem, vt ea in opus educeret. Ad eum modum quum exornasset iuuentutem, exercuit & subegit eam, continenter mouens: quæ enixe obtemperabat. Siquidem ordo militaris mirifice placebat iis, cuius perfringi glob. non videbatur posse: reddebāturq; corporibus arma tractabilia & leuia, quæ ob splendorem & decorem versabant ac ferebant quadam cum voluptate, vt in iis dimicare, & quāprimum cum hostibus auerēt decernere. Bellum ea tempestate Achæis erat cum Machanida Lacedæmoniorum tyranno, qui multa & magna potentia succinctus, omnes Peloponnesum incolentes captabat. Quem vt Mantineorum fines nuntiatum est inuasisse, Philopœmenes raptim egit in eum copias. Instruxerat in conspectu vrbis Mantineæ aciem. Habebat autem vterque sub signis magnum externorum militum numerum & vrbanas copias pene omnes. Vbi iam ad concurrendum ventum est, & milite externo Machanidas iaculatores & Tarentinos, qui ante signa locati Achæorum fuerunt, pepulit, omisso incurrere ilico in aciem eorum & diuellere globum, ablatus est dum consectatur effusos, præterlatusque aciem est Achæorum, qui integris adhuc ordinibus consistebant. Philopœmenes, quum in principio esset tam grauiter titubatum, atque actum esse omniaque iam perdita viderentur, ea re dissimulata, quasi nihil incommodi accidisset, vt conspexit quantum in persequendo hostes offenderent diuulsi ab acie sua, ac locum aperientes vacuum, non occurrit, neq; obiecit se fugientes agētibus, sed permisit eos præteruehi. Vbi iam magnum interuallam fecerunt, confestim signa intulit in pedites, quos nudos videbat relictos: cornibusque exporrectis ex latere incurrit in destitutos duce, nec pugnam expectantes. Nā quum tergis inhærentem fugientium aspicerent Machanidam, victoriam existimabant suam, atque hostes omni ex parte profligatus. Hos vt multa cæde auertit ( quippe supra quatuor millia occubuisse feruntur) cōtendit in reuertentē cum mercenariis ab hostium insectatione Machanidam.

A καὶ περὶ δεῖπνα φιλοτιμουμένων καὶ τραπέζας. ὁ δ᾽, ἀρξάμενος ἐκτρέπειν ἀπὸ τῶν οὐκ ἀναγκαίων ἐπὶ τὰ χρήσιμα καὶ καλὰ τὴν φιλοκοσμίαν, ταχὺ πάντας ἔπεισε καὶ παρώρμησε, τὰς καθ᾽ ἡμέραν περὶ σῶμα δαπάνας κολούσαντας, ἐν ταῖς στρατιωτικαῖς καὶ πολεμικαῖς παρασκευαῖς διαπρεπεῖς ὁρᾶσθαι καὶ κεκοσμημένους. ἦν οὖν ἰδεῖν τὰ μὲν ἐργαστήρια μεστὰ καταχοπτομένων κυλίκων καὶ θηρικλείων, χρυσουμένων δὲ θωράκων, καὶ καταργυρουμένων θυρεῶν καὶ χαλινῶν· τὰ δὲ στάδια πώλων δαμαζομένων, καὶ νεανίσκων ὁπλομαχούντων. ἐν δὲ ταῖς χερσὶ τῶν γυναικῶν κράνη καὶ
B πτερὰ βαφαῖς κοσμούμενα, καὶ χιτώνων ἱππικῶν καὶ στρατιωτικῶν χλαμύδων διανθισμένων. ἡ δ᾽ ὄψις αὕτη τὸ θάρσος αὔξουσα, καὶ παρακαλοῦσα τὴν ὁρμὴν, ἐποίει φιλοπαράβολον καὶ πρόθυμον ἐπὶ τοὺς κινδύνους. ἡ μὲν γὰρ ἐν τοῖς ἄλλοις θεάμασι πολυτέλεια τρυφὴν ἐπάγεται, καὶ μαλακίαν ἐνδίδωσι τοῖς χρωμένοις, ὥσπερ ὑπὸ νυγμῶν καὶ γαργαλισμῶν τῆς αἰσθήσεως συνεπικλώσης τὴν διάνοιαν· ἡ δ᾽ εἰς τὰ τοιαῦτα, ῥώννυσι καὶ μεγαλύνει τὸν θυμόν. ὥσπερ Ὅμηρος ἐποίησεν τὸν Ἀχιλλέα τῶν καινῶν ὅπλων παρατεθέντων ἐγγὺς ὑπὸ τῆς ὄψεως, ὀργῶντα καὶ φλεγόμενον
C πρὸς τὴν δι᾽ αὐτῶν ἐνέργειαν. οὕτω δὲ κοσμήσας τοὺς νέους, ἐγύμναζε καὶ διεπόνει, ταῖς κινήσεσι προθύμως ὑπακούοντας καὶ φιλοτίμως. καὶ γὰρ ἡ τάξις θαυμαστῶς ἠγαπᾶτο, ἄθραυστόν τι λαμβάνειν πύκνωμα δοκοῦσα, καὶ τὰ ὅπλα τοῖς σώμασιν ἐγίνετο χειροήθη καὶ κοῦφα, μεθ᾽ ἡδονῆς διὰ λαμπρότητα καὶ κάλλος ἁπτομένων καὶ φορούντων, ἐναγωνίσασθαί τε βουλομένων, καὶ διακριθῆναι τάχιστα πρὸς τοὺς πολεμίους. ἦν δὲ τότε τοῖς Ἀχαιοῖς ὁ πρὸς Μαχανίδαν πόλεμος τὸν Λακεδαιμονίων τύραννον, ἀπὸ
D πολλῆς καὶ μεγάλης δυνάμεως ἐπιβουλεύοντα πᾶσι Πελοποννησίοις. ὡς οὖν εἰς τὴν Μαντίνειαν ἐμβεβληκὼς ἀπηγγέλθη, κατὰ τάχος ὁ Φιλοποίμην ἐξῆγε τὴν στρατιὰν ἐπ᾽ αὐτόν. ἐγγὺς δὲ τῆς πόλεως παρετάξαντο, πολλοῖς μὲν ξένοις ἑκάτεροι, πάσαις δ᾽ ὁμοῦ τι ταῖς πολιτικαῖς δυνάμεσι. γενομένου δὲ τοῦ ἀγῶνος ἐν χερσὶν, ὁ Μαχανίδας τοῖς ξένοις τοὺς τῶν Ἀχαιῶν προτεταγμένους ἀκοντιστὰς καὶ Ταραντίνους τρεψάμενος, ἀντὶ τοῦ χωρεῖν εὐθὺς ἐπὶ τοὺς μαχομένους, καὶ παραρρηγνύναι τὸ συνεστηκὸς, ἐξέπεσε διώκων καὶ παρήλλαξε τὴν φάλαγγα, τῶν Ἀχαιῶν ἐν τάξει μενόντων. ὁ δὲ Φιλοποίμην, τηλικού-
E του πταίσματος ἐν ἀρχῇ γενομένου, καὶ τῶν πραγμάτων ἀπολωλέναι κομιδῇ καὶ διεφθάρθαι δοκούντων, τοῦτο μὲν ὅμως προσεποιεῖτο παρορᾶν, καὶ μηδὲν ἡγεῖσθαι δεινόν· κατιδὼν δὲ τοὺς πολεμίους, ὅσον ἡμάρτανον ἐν τῇ διώξει, τῆς φάλαγγος ἀπορρηγνυμένους, καὶ κενὴν χώραν διδόντας, οὐκ ἀπήντησεν, οὐδ᾽ ἐνέστη φερομένοις αὐτοῖς ἐπὶ τοὺς φεύγοντας, ἀλλ᾽ ἐάσας παρελθεῖν καὶ διάσπασμα ποιήσας μέγα, πρὸς τοὺς ὁπλίτας εὐθὺς ἦγε τῶν Λακεδαιμονίων, ὁρῶν τὴν φάλαγγα γυμνὴν ἀπολελειμμένην· καὶ κατὰ κέρας παραδραμὼν ἐνέβαλεν, μήτε ἄρχοντος αὐτοῖς
F παρόντος, μήτε μάχεσθαι προσδεχομένοις. νικᾶν γὰρ ἡγοῦντο καὶ κρατεῖν παντάπασιν, διώκοντα τὸν Μαχανίδαν ὁρῶντες. ὠσάμενος δὲ τούτους φόνῳ πολλῷ, (λέγονται γὰρ ὑπὲρ τοὺς τετρακισχιλίους ἀποθανεῖν) ὥρμησεν ἐπὶ τὸν Μαχανίδαν, ἐκ τῆς διώξεως ἀναστρέφοντα μετὰ τῶν ξένων·

καὶ παραστῆναι μέχρις ἂν ἐκπίῃ κελεύσας. ἔτυχε μὲν οὖν ἐν τῷ χλαμυδίῳ κατακείμενος, οὐ καθεύδων, ἀλλὰ λύπῃ καὶ θορύβῳ κατεχόμενος· ἰδὼν δὲ φῶς, καὶ παρεστῶτα πλησίον τὸν ἄνθρωπον, ἔχοντα τὴν κύλικα τοῦ φαρμάκου, συναγαγὼν μόλις ἑαυτὸν ὑπ' ἀσθενείας, ἀνεκάθιζε. καὶ δεξάμενος, ἠρώτησεν εἴ τι περὶ τῶν ἱππέων, καὶ μάλιστα Λυκόρτα, πεπυσμένος ἐστίν. εἰπόντος δὲ τοῦ ἀνθρώπου διαπεφευγέναι τοὺς πολλοὺς, ἐπένευσε τῇ κεφαλῇ, καὶ διαβλέψας πράως πρὸς τὸν ἄνθρωπον, Εὖ λέγεις (εἶπεν) εἰ μὴ πάντα κακῶς πεπράγαμεν. ἄλλο δὲ μηδὲν εἰπὼν, μηδὲ φθεγξάμενος, ἐξέπιε· καὶ πάλιν αὑτὸν ἀπέκλινεν, οὐ πολλὰ πράγματα τῷ φαρμάκῳ παρασχὼν, ἀλλ' ἀποσβεσθεὶς ταχὺ διὰ τὴν ἀσθένειαν. ὡς οὖν ὁ περὶ τῆς τελευτῆς λόγος ἧκεν εἰς τοὺς Ἀχαιοὺς, τὰς μὲν πόλεις αὐτῶν κοινὴ κατήφεια καὶ πένθος εἶχεν. οἱ δὲ ἐν ἡλικίᾳ μετὰ τῶν προβούλων συνελθόντες εἰς Μεγάλην πόλιν, οὐδ' ἡντινοῦν ἀναβολὴν ἐποιήσαντο τῆς τιμωρίας, ἀλλ' ἑλόμενοι στρατηγὸν Λυκόρταν, εἰς τὴν Μεσσηνίαν ἐνέβαλον, καὶ κακῶς ἐποίουν τὴν χώραν, ἄχρι οὗ συμφρονήσαντες, ἐδέξαντο τοὺς Ἀχαιούς. καὶ Δεινοκράτης μὲν, αὐτὸς αὑτὸν φθάσας διεχρήσατο. τῶν δ' ἄλλων, ὅσοις μὲν ἀνελεῖν ἔδοξε Φιλοποίμενα, δι' αὑτῶν ἀπέθνησκον· ὅσοι δὲ καὶ βασανίσαι, τούτους ἐπ' αἰκίαις ποιούμενος συνελάμβανεν ὁ Λυκόρτας. τὸ δὲ σῶμα καύσαντες αὐτοῦ, καὶ τὰ λείψανα συνθέντες εἰς ὑδρίαν, ἀνεζεύγνυσαν, οὐκ ἀτάκτως, οὐδ' ὡς ἔτυχεν, ἀλλ' ἐπινίκιον πομπήν τινα ἅμα ταῖς ταφαῖς μίξαντες. ἦν μὲν γὰρ ἐστεφανωμένους ἰδεῖν, ἦν δὲ τοὺς αὐτοὺς καὶ δακρύοντας· ἦν δὲ τοὺς ἐχθροὺς δεσμίους ἀγομένους. αὐτὴν δὲ τὴν ὑδρίαν ὑπὸ πλήθους ταινιῶν τε καὶ στεφάνων, μόλις ὁρωμένην, ἐκόμιζεν ὁ τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν παῖς Πολύβιος, καὶ περὶ αὐτὸν οἱ πρῶτοι τῶν Ἀχαιῶν. οἱ δὲ στρατιῶται, ὡπλισμένοι μὲν αὐτοὶ, τοῖς δ' ἵπποις κεκοσμημένοις ἐπηκολούθουν, οὔτε οἷον ἐπὶ πένθει τοσούτῳ κατηφεῖς, οὔτε τῇ νίκῃ γαυριῶντες. ἐκ δὲ τῶν διὰ μέσου πόλεων καὶ κωμῶν ἀπαντῶντες, ὥσπερ αὐτὸν ἀπὸ στρατείας ἐπανιόντα δεξιούμενοι, τῆς ὑδρίας ἐφήπτοντο, καὶ συμπροῆγον εἰς Μεγάλην πόλιν. ὡς οὖν συνανεμίχθησαν αὐτοῖς οἱ πρεσβύτεροι μετὰ γυναικῶν καὶ παίδων, ὀλοφυρμὸς ἤδη διὰ παντὸς ἐχώρει τοῦ στρατεύματος εἰς τὴν πόλιν, ἐπιποθοῦσαν τὸν ἄνδρα, καὶ βαρέως φέρουσαν, οἰομένην συναποβεβληκέναι τὸ πρωτεύειν ἐν τοῖς Ἀχαιοῖς. ἐτάφη μὲν οὖν, ὡς εἰκὸς, ἐνδόξως, καὶ περὶ τὸ μνημεῖον αὐτοῦ οἱ τῶν Μεσσηνίων αἰχμάλωτοι κατελεύσθησαν. οὐσῶν δὲ πολλῶν μὲν εἰκόνων αὐτοῦ, μεγάλων δὲ τιμῶν ἃς αἱ πόλεις ἐψηφίσαντο, Ῥωμαῖος ἀνὴρ, ἐν τοῖς περὶ Κόρινθον ἀτυχήμασι τῆς Ἑλλάδος, ἐπεχείρησεν ἀνελεῖν ἁπάσας, καὶ διώκειν αὐτὸν, ἐνδεικνύμενος, ὥσπερ ἔτι ζῶντα, Ῥωμαίοις πολέμιον καὶ κακόνουν γενέσθαι. λόγων δὲ λεχθέντων, καὶ Πολυβίου πρὸς τὸν συκοφάντην ἀντειπόντος, οὔθ' ὁ Μόμμιος, οὔθ' οἱ πρέσβεις ὑπέμειναν, ἀνδρὸς ἐνδόξου τιμὰς ἀφανίσαι, καίπερ οὐκ ὀλίγα τοῖς περὶ Τίτον καὶ Μάνιον ἐναντιωθέντος, ἀλλὰ τῆς χρείας, τὴν ἀρετὴν ἐκεῖνοι, καὶ τὸ καλὸν (ὡς ἔοικε) τοῦ λυσιτελοῦς διώριζον, ὀρθῶς καὶ προσηκόντως, τοῖς μὲν ὠφελοῦσι, μισθὸν καὶ χάριν παρὰ τῶν εὖ παθόντων, τοῖς δὲ ἀγαθοῖς, τιμὴν ὀφείλεσθαι παρὰ τῶν ἀγαθῶν ἀεὶ νομίζοντες. ταῦτα περὶ Φιλοποίμενος.

A porrigeret, neq; abscederet quousq; id exhausisset. Ille tum forte decumbebat in lacernula non somno stratus, sed mœrore & animi motu oppressus. Animaduerso lumine & homine qui cum virulẽto poculo iuxta assistebat, ægre ob infirmitatem se colligens, erexit se ad sedendum, acceptoq; poculo rogauit hominem ecquid de equitibus, præcipue de Lycorta accepisset. Quo respõdente maximã partem saluam esse, annuit capite, placideq; intuitus eum, Bene habet (inquit) quod non vndequaq; fuerimus infelices. Nullo alio verbo vel voce missa ebibit poculum atq; iterum reclinauit se. Nec B multum negotii præbuit veneno, sed confestim est ob imbecillitatẽ extinctus. Vt igitur ad Acheos de interitu eius allatum est, hinc ciuitates illorum publicus luctus & mœror occupauit, hinc iuuentus cum primoribus senatus conueniens Megalopolim, nulla vindictę admissa mora, atq; electo Lycorta duce, fines Messenio sinuadunt, eosq; fœdãt, donec illi consensione recipiunt Achæos. Dinocrates sibi ipse manus occupat afferre. cæterique quotquot necandum Philopœmenem censuerãt, consciscunt sibimet ipsi mortem: qui torquendũ, hos iniuriarum nomine vincit Lycortas. Corpus C eius combusserunt, & reliquiis in vrnam conditis domum repetierunt, non incomposito aut incondito agmine, sed pompam quandam cum exequiis triumphalem miscuere. Videres enim coronis redimitos, videres eosdem quoque lacrymantes, videres cathenatos trahi hostes, ipsam vrnam præ vittarum & coronarum numero conspectui pene ademptam, quam prætori Achæorum filius Polybius ferebat principibus Achæorũ cinctus. Milites ipsi armati equis specio se instratis sequebãtur, non vt tanto in luctu mœsti, nec victoria ouantes. Ex oppidis & castellis D in via positis obuiam effundebantur quasi ab expeditione reducem amplectentes, vrnamque contrectabant, atque vna prosequebantur Megalopolim. Vt verò senes fuerunt cum mulieribus & pueris commixti, ibi comploratio per totum exercitum incessit ciuitatem, quæ illum desiderabat, & eum casum ferebat grauiter: vna cum eo principatum rata se inter Achæos amisisse. Ita ille honorifico (vt par erat) funere est elatus, & iuxta monumentum Messeniorum captiui sunt lapidibus cooperti. Cuius quum multæ statuæ, magnique extarent honores quos ciuitates ei decreuerunt, Romanus quispiam in nau- E fragio illo Corinthiaco Græciæ tollere cunctos aggressus est, & ipsum persequi, accusans tãquam adhuc viuum, Romanis hostem & infestum fuisse. Ibi orationibus habitis, quum Polybius refellisset sycophantem, non sustinuit neque Mummius neque legati abolere clari viri honores, quanuis in non paucis fuisset T. Quintio & M. Attilio aduersatus: verum à commodo virtutem illi viri, atque honestum meo iudicio ab vtilitate rectè atque ordine discreuerunt, putaueruntque commodantibus præmium & gratiam ab illis, ad quos beneficentia peruenit, bonis vi- F ris honorum a bonis semper deberi. Hactenus de Philopœmene.

A

# PLVTARCHI

## TITVS QVINTIVS FLAMINIVS.

HVIC quē opponimus, T. Quintii Flaminii faciem, si quæras, videas licet ex statua ærea quæ posita Romæ est iuxta magnū Apollinem Carthagine aductum contra circum maximū, Græcis inscripta literis. Animo fuisse eum feruido ferunt & ad iram & beneficentiam, verum non æque, sed in puniendo facilem nec pertinacem, contra in benefaciendo constantem, atque eorum apud quos beneficia collocauerat, amicum & cupidum non aliter acsi bene de se meriti essent, vt res charissimas amplexum esse meritis suis obstrictos & fouisse. Cæterum quum esset imprimis ambitiosus, gloriæque cupiditate summa duceretur, studebat præstantissima quæque & maxima ipse obire, gratioresque habebat eos qui operam suam quærerent quam qui præstarent sibi: quod hos velut ad gloriam aduersarios, illos virtutis segetem existimaret. Disciplina militari institutus ea tempestate quum multa populus Romanus & grauia bella gereret, ac primis mox stipendiis adolescentes artes discerent imperatorias: primum sub Marcello consule tribunus militum fuit bello Punico secundo. Qui quum circumuentus insidiis cecidisset, regionis Tarentinæ atque etiam Tarenti, quum esset receptum, præfectus ita se ibi gessit, vt non minorem iustitiæ quam scientiæ rei militaris mereretur laudem. Quare in duo oppida colonis deducendis, Narniam & Cossam, est triumuir creatus. Id ei animum dedit vt transcensis mediis honoribus, in quibus iuuenes documentum sui dare consueuerant, tribunatu plebis, prætura, ædilitate, ad consulatum statim tenderet, descenditque in campum studiis harum coloniarum succinctus. Comitia tribuni plebis Fuluius & Manlius impediebant: demonstrantes mali rem exempli esse, quod iuuenis nondum reipub. quasi primis sacris & mysteriis initiatus ad summum honorem contra leges perrumperet. Id senatus populi arbitrio permisit. Populus consulem nondum triginta annos natum addito collega Sexto AElio creauit. Sortitur inde bellum aduersus Philippum & Macedonas. Ac felicitate quadam populi Romani in eum illæ delatæ res atque illi fuerunt homines, qui non tam domandi bello & vi à duce quam comitate & humanitate erant alliciendi. Philippo enim firmamentum quidem ad certamina abunde suppeditabat Macedonia, nerui verò tractum habituri belli, promptuarium, refugium, organum denique phalangis, opes erant Græcorum. Qui nisi à Philippo essent retracti, bellum Macedonicum non erat vno prælio decretum Quia verò Græcis parum ad id temporis intercesserat cum Romanis, sed consuetudo tum primum est rebus gerendis contracta, nisi humano ingenio imperator

# ΠΛΟΥΤΑΡΧΟΥ

## ΤΙΤΟΣ ΚΟΙΝΤΙΟΣ ΦΛΑΜΙΝΙΟΣ.

Ὃν δὲ παραβάλλομεν αὐτῷ, Τίτος Κοΐντιος Φλαμίνιος, ἰδέαν μὲν ὁποῖος ἦν, πάρεστι θεάσασθαι τοῖς βουλομένοις, ἀπὸ τῆς
B ἐν Ῥώμῃ χαλκῆς εἰκόνος, ἣ κεῖται παρὰ τὸν μέγαν Ἀπόλλωνα τὸν ἐκ Καρχηδόνος, ἀντικρὺ τοῦ ἱπποδρόμου, γράμμασιν Ἑλληνικοῖς ἐπιγεγραμμένη. τὸ δ᾽ ἦθος, ὀξὺς λέγεται γενέσθαι, καὶ πρὸς ὀργὴν καὶ πρὸς χάριν. οὐ μὴν ὁμοίως, ἀλλ᾽ ἐλαφρὸς μὲν ἐν τῷ κολάζειν, καὶ οὐκ ἐπίμονος· πρὸς δὲ τὰς χάριτας τελεσιουργός. καὶ τοῖς εὐεργετηθεῖσι, διὰ παντὸς, ὥσπερ εὐεργέταις, εὔνους, καὶ πρόθυμος, ὡς κάλλιστα τῶν κτημάτων, τοὺς εὖ πεπονθότας ὑπ᾽ αὐτοῦ περιέπειν καὶ σώζειν. φιλοτιμότατος δὲ καὶ φιλοδοξότατος ὢν, ἐβούλετο τῶν ἀρίστων καὶ μεγίστων πράξεων
C αὐτουργὸς εἶναι, καὶ τοῖς δεομένοις εὖ παθεῖν μᾶλλον ἢ τοῖς εὖ ποιῆσαι δυναμένοις ἔχαιρεν, τοὺς μὲν, ὕλην τῆς ἀρετῆς, τοὺς δὲ, ὥσπερ ἀντιπάλους πρὸς δόξαν ἡγούμενος. παιδευθεὶς δὲ παιδείαν τὴν κατὰ τῶν ἐθῶν τῶν στρατιωτικῶν, πολλοὺς τότε καὶ μεγάλους τῆς Ῥώμης ἀγωνιζομένης ἀγῶνας, καὶ τῶν νέων εὐθὺς ἐξ ἀρχῆς ἐν τῷ στρατεύεσθαι στρατηγεῖν διδασκομένων· πρῶτον μὲν ἐν τῷ πρὸς Ἀννίβαν πολέμῳ χιλίαρχος ὑπατεύοντι Μαρκέλλῳ συνεστρατεύσατο. καὶ Μάρκελλος μὲν ἐνέδρᾳ περιπεσὼν, ἐτελεύτησεν, Τίτος δὲ τῆς περὶ Τάραντα
D χώρας, καὶ Τάραντος αὐτοῦ τὸ δεύτερον ἡλωκότος, ἔπαρχος ἀποδειχθεὶς, εὐδοκίμησεν, οὐχ ἧττον ἐπὶ τοῖς δικαίοις, ἢ κατὰ τὴν στρατείαν. διὸ καὶ πεμπομένων ἀποίκων εἰς δύο πόλεις Ἀρνείαν τε καὶ Κῶσσαν, ἄρχων ἡρέθη καὶ οἰκιστής. τοῦτο δ᾽ αὐτὸν ἐπῆρε μάλιστα, τὰς διὰ μέσου καὶ συνήθεις τοῖς νέοις ἀρχὰς ὑπερβάντα, δημαρχίαν καὶ στρατηγίαν καὶ ἀγορανομίαν, εὐθὺς αὐτὸν ὑπατείας ἀξιοῦν· καὶ κατῄει τοὺς ἀπὸ τῶν κληρουχιῶν ἔχων προθύμους. τῶν δὲ περὶ Φούλβιον καὶ Μάλλιον δημάρχων ἐνισταμένων, καὶ δεινὸν εἶναι λεγόντων, ἄνδρα νέον εἰς τὴν μεγίστην ἀρχὴν εἰσβιάζεσθαι παρὰ τοὺς νόμους, οἷον ἀτέλεστον ἔτι τῶν πρώτων ἱερῶν καὶ μυστηρίων τῆς
E πολιτείας, ἡ μὲν σύγκλητος ἀπέδωκε τῷ δήμῳ τὴν ψῆφον, ὁ δὲ δῆμος ἀπέδειξεν αὐτὸν ὕπατον μετὰ Σέξτου Αἰλίου, καίπερ οὔπω τριάκοντα ἔτη γεγονότα. κλήρῳ δὲ λαγχάνει τὸν πρὸς Φίλιππον καὶ Μακεδόνας πόλεμον, εὐτυχίᾳ τινὶ τῶν Ῥωμαίων συλλαχὼν πράγμασι, καὶ ἀνθρώποις οὐ πάντα πολέμῳ καὶ βίᾳ χρωμένου δεομένοις ἄρχοντος, ἀλλὰ πειθοῖ καὶ ὁμιλίᾳ μᾶλλον ἁλωσίμοις. Φιλίππῳ γὰρ ἦν στόμωμα μὲν εἰς μάχην ἀποχρῶν, ἡ Μακεδόνων ἀρχὴ, ῥώμη δὲ πολέμου τριβὴν ἔχοντος, καὶ χορηγία καὶ καταφυγὴ, καὶ ὄργανον ὅλως τῆς φάλαγγος, ἡ τῶν Ἑλλήνων δύναμις· ὧν
F μὴ διαλυθέντων ἀπὸ τοῦ Φιλίππου, μιᾶς μάχης οὐκ ἦν ἔργον ὁ πρὸς αὐτὸν πόλεμος. ἡ δ᾽ Ἑλλὰς, οὔπω πολλὰ συνειθισμένη Ῥωμαίοις, ἀλλὰ τότε πρῶτον ἐπιμιγνυμένη ταῖς πράξεσιν, εἰ μὴ φύσει τε χρηστὸς ἦν ὁ ἄρχων,

